GRAMMATICAL: 30) W. 82. 31) W. 477.c. 32) W. 606. 33) W. 171. 34) W. 445; W. 558. 35) W. 367. 36) W. 123. 37) W. 511.b; B. 248. 38) W. 559; B. 371. 39) W. 111. 40) W. 147. 41) W. 442.a. 42) W. 114. 43) W. 464*.2. 44) W. 393. 45) W. 476*; B. 353. 46) B. 37. 47) W. 469*. 48) W. 219.10; B. 187. 49) W. 405. 1) W. 511.b. 2) B. 69. 3) B. 248. 4) W. 448. 5) W. 385; B. 331*. 6) W. 382. 7) B. 115. 8) W. 179. 9) W. 582; B. 392*. 10) W. 618*. 11) W. 283*; B. 359. 12) W. 480.

7 οὐκ ἔτι ἐστὶν ἔργον". Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραήλ, ‡ τούτου"[13] οὐκ ἐπέ-
8 τυχεν, ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ λοιποὶ ἐπωρώθησαν, ' ‡ καθὼς" γέ-
γραπται, 'Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως[14], ὀφθαλμοὺς τοῦ
μὴ βλέπειν[15], καὶ ὦτα τοῦ μὴ ἀκούειν,' Deut. 29. 4; Isa. 6. 9; 29. 10. ἕως
9 τῆς σήμερον ἡμέρας. καὶ ‡ Δαβὶδ" λέγει, 'Γενηθήτω ἡ τράπεζα αὐτῶν
εἰς[16] παγίδα καὶ εἰς θήραν, καὶ εἰς σκάνδαλον καὶ εἰς ἀνταπόδομα αὐ-
10 τοῖς· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν[17], καὶ τὸν νῶ-
11 τον αὐτῶν ‡ διαπαντὸς" ‡ σύγκαμψον".' Psa. 68. (69.) 23. Λέγω οὖν, μὴ
ἔπταισαν, ἵνα[18] πέσωσι; μὴ γένοιτο· ἀλλὰ τῷ αὐτῶν[19] παραπτώματι
12 ἡ σωτηρία[20] τοῖς ἔθνεσιν, εἰς[21] τὸ παραζηλῶσαι αὐτούς. εἰ δὲ τὸ
παράπτωμα αὐτῶν πλοῦτος κόσμου, καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθ-
13 νῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν; Ὑμῖν ‡ γὰρ" λέγω τοῖς ἔθνε-
σιν· ἐφ'[22] ὅσον μὲν[23] εἰμι ἐγὼ ἐθνῶν[24] ἀπόστολος, τὴν διακονίαν μου
14 δοξάζω, ' εἴ πως παραζηλώσω[25] μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐ-
15 τῶν. εἰ γὰρ ἡ ἀποβολὴ[26] αὐτῶν, καταλλαγὴ κόσμου, τίς[27] ἡ ‡ πρόσ-
16 ληψις", εἰ μὴ ζωὴ ἐκ νεκρῶν; ' εἰ δὲ ἡ ἀπαρχὴ[28] ἁγία, καὶ τὸ φύραμα·[29]
17 καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι[30]. εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθη-
σαν[31], σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν[32] αὐτοῖς, καὶ ‡ συγκοινω-
νὸς" τῆς ῥίζης[33] † καὶ" τῆς πιότητος τῆς ἐλαίας ἐγένου, μὴ[34] κατακαυχῶ
18 τῶν κλάδων· εἰ δὲ κατακαυχᾶσαι[35], οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ‡ ἀλλ'"
19 ἡ ῥίζα σέ. Ἐρεῖς[36] οὖν, 'Ἐξεκλάσθησαν † οἱ"[37] κλάδοι, ἵνα ἐγὼ ‡ ἐγ-
20 κεντρισθῶ".' Καλῶς· τῇ ἀπιστίᾳ[38] ‡ ἐξεκλάσθησαν", σὺ δὲ τῇ πίστει
21 ἕστηκας. μὴ ‡ ὑψηλοφρόνει"[39], ἀλλὰ φοβοῦ· ' εἰ[40] γὰρ ὁ Θεὸς τῶν
κατὰ[41] φύσιν κλάδων[42] οὐκ[43] ἐφείσατο, † μήπως"[44] οὐδέ σου ‡ φείσηται"[45].
22 Ἴδε[46] οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ· ἐπὶ μὲν[47] τοὺς πεσόντας,

---

TEXTUAL: Vs. 7: A.L.Tr.T.W. *τοῦτο*. Vs. 8: Tr.T. *καθάπερ*. Vs. 9: A.L.Tr.T.W. *Δαυείδ*. Vs. 10: A.L.Tr.W. *διὰ παντὸς*. | T.W. *συν*. Vs. 13: A.L.Tr.T.W. *δὲ*; txt. W. marg. | A.L.T.W. add *οὖν*; Tr. [*οὖν*]; W. marg. om. *μὲν οὖν*. Vs. 15: A.L.Tr.T.W. *πρόσλημψις*. Vs. 17: T.W. *συν*. | A.T.W. marg. om. *καὶ*, Codd. ℵ*,B,C; [Tr.]; txt. Codd. ℵ^c,A,D^c,17s,37. Vs. 18: A.Tr.T.W. *ἀλλὰ*. Vs. 19: A.L.Tr.T.W. om. *οἱ*, Codd. ℵ,A,C, D**.17,37; txt. W. marg. Codd. B,D*. | T.W. *εν*. Vs. 20: L.Tr. *ἐκλάσθησαν*, Codd. B. D*; txt. Codd. ℵ,A,B Mai,C,D^b,17,37. | A. marg. L. marg. Tr.T.W. marg. *ὑψηλὰ φρόνει*, Codd. ℵ,A,B; txt. Codd. C,D. Vs. 21: L.Tr.T.W. om. *μήπως*, Codd. ℵ,A,B,C; [A.]; txt. W. marg. Codd. D,17,37. | A.L.Tr.T.W. *φείσεται*, Codd. ℵ,A,B,(*Mai*, ed. 2,)C.D,17,37.

GRAMMATICAL: 13) W. 200. 14) W. 94. 15) B. 267*. 16) B. 150. 17) B. 271. 18) W. 458. 19) B. 116. 20) W. 586; B. 138. 21) B. 264. 22) W. 408.3. 23) B. 370. 24) W. 192. 25) W. 575*; B. 256. 26) W. 521.9. 27) B. 128. 28) W. 584. 29) W. 582.b; B. 392. 30) W. 585.b; B. 137. 31) W. 292; W. 637. 32) W. 391*.b. 33) W. 200. 34) W. 501.b. 35) B. 42; B. 395.c. 36) W. 280*; B. 218. 37) W. 118. 38) W. 216.c; B. 186*. 39) W. 313*.b. 40) W. 448. 41) W. 401; B. 162. 42) W. 193*. 43) W. 478.a; B. 346. 44) W. 474*; B. 353. 45) W. 504*; W. 598*. 46) W. 49. 47) W. 363.

‡ ἀποτομία″[48]· ἐπὶ δέ σε, ‡ χρηστότητα″, ἐὰν ‡ ἐπιμείνῃς″ τῇ χρηστότητι.
ἐπεὶ[49] καὶ σὺ ἐκκοπήσῃ. ‡ καὶ ἐκεῖνοι″ δέ, ἐὰν μὴ ‡ ἐπιμείνωσι″ τῇ ἀπισ- 23
τίᾳ, ‡ ἐγκεντρισθήσονται″. δυνατὸς γάρ ἐστιν ὁ Θεὸς πάλιν ‡ ἐγκεν-
τρίσαι″ αὐτούς[50]. εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης[51] ἀγριελαίου, 24
καὶ παρὰ φύσιν ἐνεκεντρίσθης[52] εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ
κατὰ φύσιν, ‡ ἐγκεντρισθήσονται″ τῇ ἰδίᾳ[53] ἐλαίᾳ; Οὐ γὰρ θέλω ὑμᾶς 25
ἀγνοεῖν, ἀδελφοί, τὸ μυστήριον τοῦτο, ἵνα μὴ[54] ἦτε[55] ‡ παρ'″[56] ἑαυτοῖς
φρόνιμοι, ὅτι πώρωσις ἀπὸ[57] μέρους τῷ[58] Ἰσραὴλ[59] γέγονεν, ἄχρις[60] οὗ
τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ[61]· καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται, κα- 26
θὼς γέγραπται, ‘"Ηξει ἐκ Σιὼν ὁ ῥυόμενος, † καὶ″ ἀποστρέψει ἀσεβείας
ἀπὸ Ἰακώβ· καὶ αὕτη αὐτοῖς ἡ[62] παρ' ἐμοῦ[63] διαθήκη, ὅταν[64] ἀφέλωμαι 27
τὰς ἁμαρτίας αὐτῶν.’ **Isa. 59. 20; 27. 9; Jer. 31. 33.** Κατὰ[65] μὲν τὸ εὐαγ- 28
γέλιον, ἐχθροὶ δι' ὑμᾶς· κατὰ δὲ τὴν ἐκλογήν, ἀγαπητοὶ διὰ τοὺς
πατέρας. ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ. 29
"Ωσπερ γὰρ † καὶ″[66] ‡ ὑμεῖς ποτε″ ἠπειθήσατε τῷ Θεῷ, νῦν δὲ ἠλεήθητε 30
τῇ τούτων ἀπειθείᾳ[67]· οὕτω καὶ ‡ οὗτοι″ νῦν ἠπείθησαν τῷ ‡ ὑμετέρῳ″[68] 31
ἐλέει ἵνα[69] καὶ αὐτοὶ * ἐλεηθῶσι. συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς πάν- 32
τα [70] εἰς ἀπείθειαν ἵνα τοὺς πάντας[71] ἐλεήσῃ. ‡ "Ω″[72] βάθος πλούτου[73] 33
καὶ σοφίας[74] καὶ[75] γνώσεως Θεοῦ. ὡς ‡ ἀνεξερεύνητα″[76] τὰ κρίματα αὐ-
τοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ 34
τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθή- 35
σεται αὐτῷ; ' ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς[77] αὐτὸν τὰ πάντα· αὐτῷ 36
ἡ[78] δόξα[79] εἰς τοὺς αἰῶνας. ἀμήν.

ΠΑΡΑΚΑΛΩ οὖν ὑμᾶς, ἀδελφοί, διὰ[1] τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παρα- 12
στῆσαι[2] τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, ‡ εὐάρεστον τῷ Θεῷ″,
τὴν λογικὴν λατρείαν[3] ὑμῶν· καὶ μὴ ‡ συσχηματίζεσθε″ τῷ αἰῶνι τούτῳ, 2

---

TEXTUAL: Vs. 22: A.L.Tr.T.W. ἀποτομία. | A.L.Tr.T.W. χρηστότης Θεοῦ. | L. marg. Tr. T.W. marg. ἐπιμένῃς. Vs. 23: A.L.Tr.T.W. κἀκεῖνοι. | Tr.T. ἐπιμένωσιν, Codd. ℵ*,B,D*: txt. Codd. ℵ^c,A,C,D^c. | T.W. εν. | T.W. εν. Vs. 24: T.W. εν. Vs. 25: A.Tr.W. marg. ἐν, Codd. A,B; W. om. παρ'; txt. Tr. marg. Codd. ℵ,C,D,17,37. Vs. 26: A.L.Tr.T.W. om. καὶ. Vs. 30: A.L.Tr.T.W. om. καὶ. | L. marg. ποτε ὑμεῖς. Vs. 31: E. ἡμετέρῳ. | T.W. marg. add νῦν; L. [νῦν.] Vs. 33: A.E.Tr.T.W. ὦ. | A.Tr.T. ἀνεξεραύνητα. Chap. 12, vs. 1: T. τῷ Θεῷ εὐάρεστον. Vs. 2: A.T.W. συν; A.L.Tr. marg. W. marg. –σχηματίζεσθαι.

GRAMMATICAL: 48) B. 384*. 49) B. 359*. 50) W. 620*. 51) W. 429.4. 52) W. 430. 53) W. 154. 54) W. 477. 55) W. 287. 56) W. 387. 57) W. 423.a. 58) B. 86. 59) W. 211.a. 60) W. 42. 61) B. 231. 62) W. 131.a. 63) W. 193*. 64) W. 308. 65) W. 401. 66) W. 440. 67) W. 216.c. 68) W. 153*; B. 157. 69) W. 459*. 70) W. 178.5. 71) W. 610. 72) B. 140. 73) W. 191*; B. 23. 74) B. 154; B. 155*. 75) W. 519.7. 76) B. 58. 77) W. 418*. 78) W. 108.b. 79) B. 137. 1) W. 381.d. 2) W. 332. 3) W. 533; B. 153.

ἀλλὰ ‡μεταμορφοῦσθε″ τῇ ἀνακαινώσει τοῦ νοὸς †ὑμῶν″, εἰς[4] τὸ δοκι-
μάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ Θεοῦ· τὸ ἀγαθὸν καὶ[5] εὐάρεστον καὶ τέ-
3 λειον. Λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν
ὑμῖν, μὴ[6] ὑπερφρονεῖν παρ'[7] ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρο-
4 νεῖν[8], ἑκάστῳ[9] ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως. Καθάπερ γὰρ ἐν ἑνὶ
σώματι ‡μέλη πολλὰ″ ἔχομεν, τὰ δὲ μέλη πάντα[10] οὐ τὴν αὐτὴν ἔχει
5 πρᾶξιν· οὕτως οἱ[11] πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ‡ὁ″ δὲ ‡καθεῖς″[12]
6 ἀλλήλων μέλη. ἔχοντες[13] δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν
ἡμῖν διάφορα· εἴτε[14] προφητείαν[15], κατὰ τὴν ἀναλογίαν τῆς πίστεως·
7 ' εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ·
8 ' εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει· ὁ μεταδιδούς, ἐν ἁπλότητι· ὁ
προϊστάμενος, ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι.
9 Ἡ ἀγάπη[16] ἀνυπόκριτος. ἀποστυγοῦντες[17] τὸ πονηρόν, κολλώμενοι τῷ
10 ἀγαθῷ· ' τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι· τῇ τιμῇ[18] ἀλλήλους
11 προηγούμενοι· ' τῇ σπουδῇ μὴ[19] ὀκνηροί, τῷ πνεύματι ζέοντες, τῷ ‡καιρῷ″
12 δουλεύοντες· ' τῇ ἐλπίδι[20] χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ
13 προσκαρτεροῦντες[21]· ' ταῖς χρείαις[22] τῶν ἁγίων κοινωνοῦντες, τὴν φιλο-
14 ξενίαν διώκοντες· ' εὐλογεῖτε[23] τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε, καὶ μὴ[24]
15 καταρᾶσθε. Χαίρειν[25] μετὰ χαιρόντων, †καὶ″ κλαίειν μετὰ[26] κλαιόντων.
16 τὸ αὐτὸ εἰς[27] ἀλλήλους φρονοῦντες· μὴ[28] τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ
τοῖς ταπεινοῖς[29] συναπαγόμενοι. μὴ γίνεσθε φρόνιμοι παρ'[30] ἑαυτοῖς.
17 μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. προνοούμενοι καλὰ ἐνώπιον
18 ‡πάντων ἀνθρώπων· ' εἰ δυνατόν[31], τὸ[32] ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώ
19 πων εἰρηνεύοντες. μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί, ἀλλὰ δότε το-
πον τῇ ὀργῇ· γέγραπται γάρ, ‘Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει
20 Κύριος.’ ‡Ἐὰν οὖν″[33] πεινᾷ[34] ὁ ἐχθρός σου, ψώμιζε[35] αὐτόν· ἐὰν
διψᾷ[36], πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς[37] σωρεύσεις ἐπὶ

---

TEXTUAL: A.L.Tr. marg. W. marg. *μεταμορφοῦσθαι.* | A.L.Tr.T.W. om. *ὑμῶν.* Vs. 4: A.L.Tr.T.W. *πολλὰ μέλη.* Vs. 5: A.L.Tr.T.W. *τὸ.* | A.E.L.Tr.T.W. *καθ' εἷς.* Vs. 11: A.F.L.Tr.T.W. *Κυρίῳ,* Codd. ℵ.A,B,D^b,17,37; txt. Cod. D*. Vs. 15: A.L.Tr.T.W. om. *καὶ.* Vs. 17: L. adds [*ἐνώπιον τοῦ Θεοῦ καὶ*] | L.W. marg. *τῶν.* Vs. 20: A.L.Tr.T.W. marg. *ἀλλὰ ἐὰν*; W. om. *οὖν.*

---

GRAMMATICAL: 4) B. 264. 5) W. 519.7. 6) W. 481.4. 7) W. 433; W. 404; B. 339. 8) W. 638; B. 265. 9) W. 550; B. 389. 10) W. 548. 11) W. 110. 12) W. 249.3; B. 30. 13) W. 545; W. 578*. 14) W. 440.6. 15) W. 582.b; B. 392. 16) W. 537; W. 585; B. 137. 17) W. 586*. 18) W. 215.a. 19) W. 476. 20) W. 217*. 21) W. 433. 22) B. 160. 23) W. 537. 24) B. 369. 25) W. 316.d; B. 272*; B. 386. 26) W. 376.h. 27) W. 397. 28) B. 352. 29) W. 219.10. 30) W. 395*. 31) W. 585. 32) W. 230; B. 96; B. 152. 33) W. 444.a. 34) W. 293.b. 35) W. 313.b. 36) W. 77.b; B. 44. 37) B. 161.

την κεφαλὴν αὐτοῦ  μὴ νικῶ ὑπὸ τοῦ κακοῦ[38], ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ 21
τὸ κακόν.

ΠΑΣΑ[1] ψυχὴ[2] ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ γάρ ἐστιν 13
ἐξουσία εἰ μὴ ‡ ἀπὸ″[3] Θεοῦ[4]· αἱ δὲ οὖσαι † ἐξουσίαι″[5] ὑπὸ † τοῦ″ Θεοῦ τεταγ-
μεναι εἰσίν. ὥστε ὁ ἀντιτασσόμενος[6] τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ 2
ἀνθέστηκεν[7]. οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς[8] ‡ κρίμα″ ‡ λήψονται″. ¹ οἱ γὰρ 3
ἄρχοντες οὐκ εἰσὶ φόβος ‡ τῶν ἀγαθῶν[9] ἔργων″, ἀλλὰ τῶν κακῶν″. θέ-
λεις δὲ μὴ[10] φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει[11], καὶ ἕξεις ἔπαινον
ἐξ[12] αὐτῆς· ¹ Θεοῦ[13] γὰρ διάκονός ἐστι σοὶ εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κα- 4
κὸν ποιῇς[14], φοβοῦ· οὐ γὰρ ‡ εἰκῆ″ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός
ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. διὸ ‡ ἀνάγκη″[15] ‡ ὑπο- 5
τάσσεσθαι″[16], οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν.
διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε[17]· λειτουργοὶ γὰρ Θεοῦ εἰσιν[18], εἰς 6
αὐτὸ[19] τοῦτο προσκαρτεροῦντες. ἀπόδοτε † οὖν″ πᾶσι τὰς ὀφειλάς· 7
τῷ[20] τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν
φόβον· τῷ τὴν τιμήν, τὴν τιμήν. Μηδενὶ[21] μηδὲν ὀφείλετε, εἰ μὴ τὸ 8
ἀγαπᾶν[22] ἀλλήλους· ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον[23] πεπλήρωκε[24].
τὸ[25] γάρ, ‘Οὐ[26] μοιχεύσεις[27], οὐ φονεύσεις, οὐ κλέψεις[28], † οὐ ψευδομαρ- 9
τυρήσεις″, οὐκ ἐπιθυμήσεις,’ καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν ‡ τούτῳ τῷ
λόγῳ″ ἀνακεφαλαιοῦται, † ἐν τῷ″, ‘Ἀγαπήσεις τὸν πλησίον σου ὡς
‡ ἑαυτον″[29].’ Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα 10
οὖν νόμου ἡ ἀγάπη.

ΚΑΙ[30] τοῦτο, εἰδότες τον καιρόν, ὅτι ὥρα ‡ ἡμᾶς ἤδη″ ἐξ[31] ὕπνου ἐγερ- 11
θῆναι[32]· νῦν γὰρ ἐγγύτερον[33] ἡμῶν[34] ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν.
ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ 12

---

TEXTUAL: Chap. 13, vs. 1: A. marg. L.Tr.T.W. ὑπὸ, Codd. ℵ,A,B,D^c,17,37: txt. W. marg. Cod. D*. | A.L.Tr.T.W. om. ἐξουσίαι, Codd. ℵ,A,B,D*; txt. Codd. D^c,17,37. | A.L.Tr. T.W. om. τοῦ, Codd. ℵ*,A,B,D,37; txt. W. marg. Codd. ℵ^c,17. Vs. 2: A.E.L.Tr. κρῖμα. | A.L.Tr.T.W. λήμψονται. Vs. 3: A.L.Tr.T.W. τῷ ἀγαθῷ ἔργῳ, ἀλλὰ τῷ κακῷ, Codd. ℵ,A, B,D*; txt. Codd D^c,17,37. Vs. 4: L. εἰκῇ. Vs. 5: W. marg. ἀνάγκῃ. | W. marg. ὑποτάσσεσθε: E. προτάσσεσθαι. Vs. 7: A.L.Tr.T.W. om. οὖν Vs. 8: A.L.Tr.T.W. ἀλλήλους ἀγαπᾶν. Vs. 9: A.L.Tr.T.W. om. οὐ ψευδομαρτυρήσεις, Codd. A,B,D,17; txt. Codd. ℵ,37. | A.L.Tr.T.W. τῷ λόγῳ τούτῳ; txt. L. marg. | A.L.Tr. [ἐν τῷ]; W. marg. om. ἐν τῷ, Cod. B; txt. Codd. ℵ,A,D. | A.L.Tr.T.W. σεαυτόν. Vs. 11: L.Tr. ἤδη ἡμᾶς; A.Tr. marg. T.W. ἤδη ὑμᾶς; W. marg. ἡμας, or om. ὑμᾶς.

GRAMMATICAL: 38) B. 340. 1) W. 537. 2) W. 156*. 3) W. 370; W. 371; B. 341*. 4) W. 122. 5) W. 582*. 6) W. 429. 7) W. 274; W. 301. 8) W. 212.b. 9) W. 524. 10) W. 481.4. 11) W. 313. 12) W. 368. 13) W. 192. 14) W. 293.b. 15) B. 136. 16) W. 319. 17) W. 317. 18) W. 631.b. 19) B. 109. 20) W. 590*; B. 395. 21) W. 209; W. 499; W. 501*. 22) W. 47.c; W. 323; B. 262. 23) W. 123. 24) W. 273; B. 199. 25) W. 109; B. 96. 26) W. 502. 27) W. 316. 28) W. 87; B. 53. 29) W. 151. 30) W. 565. 31) W. 366*. 32) W. 319; W. 585; B. 260. 33) W. 239. 34) W. 195.

13 σκότους, ‡ καὶ ἐνδυσώμεθα" τὰ ‡ ὅπλα" τοῦ φωτός. ὡς[35] ἐν ἡμέρᾳ, εὐ-
σχημόνως περιπατήσωμεν, μὴ[36] κώμοις[37] καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελ-
14 γείαις, μὴ ‡ ἔριδι" καὶ ‡ ζήλῳ"· ‡ ἀλλ'" ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν
Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς[38] ἐπιθυμίας.
14 ΤΟΝ δὲ ἀσθενοῦντα[1] τῇ πίστει προσλαμβάνεσθε, μὴ[2] εἰς[3] διακρίσεις
2 διαλογισμῶν. Ὃς[4] μὲν πιστεύει φαγεῖν[5] πάντα, ὁ[6] δὲ ἀσθενῶν λάχανα
3 ἐσθίει. ὁ ἐσθίων, τὸν μὴ[7] ἐσθίοντα μὴ ἐξουθενείτω· ‡ καὶ ὁ" μὴ ἐσθίων,
4 τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. σὺ[8] τίς εἶ
ὁ κρίνων[9] ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ[10] κυρίῳ στήκει ἢ πίπτει. σταθή-
5 σεται[11] δέ· ‡ δυνατὸς γάρ ἐστιν" ὁ ‡ Θεὸς" στῆσαι αὐτόν. Ὃς[12] μὲν *
κρίνει ἡμέραν παρ'[13] ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. ἕκαστος ἐν
6 τῷ ἰδίῳ[14] νοῒ πληροφορείσθω. ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ[15] φρονεῖ·
†καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ". * ὁ ἐσθίων, Κυρίῳ
ἐσθίει, εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ
7 εὐχαριστεῖ τῷ Θεῷ. οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ[16] ζῇ, καὶ[17] οὐδεὶς ἑαυτῷ
8 ἀποθνήσκει. ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ‡ ἀποθνή-
σκωμεν"[18], τῷ Κυρίῳ ἀποθνήσκομεν. ἐάν τε οὖν ζῶμεν, ἐάν τε ‡ ἀπο-
9 θνήσκωμεν", τοῦ Κυρίου[19] ἐσμέν. εἰς τοῦτο[20] γὰρ Χριστὸς ‡ καὶ" ἀπέ-
θανε καὶ ‡ ἀνέστη καὶ ἀνέζησεν"[21], ἵνα[22] καὶ νεκρῶν[23] καὶ ζώντων κυ-
10 ριεύσῃ. Σὺ[24] δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ[25] καὶ σὺ τί ἐξουθενεῖς
τὸν ἀδελφόν σου; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ ‡ Χρισ-
11 τοῦ". γέγραπται γάρ, 'Ζῶ ἐγώ, λέγει Κύριος· ὅτι[26] ἐμοὶ κάμψει πᾶν
12 γόνυ, καὶ ‡ πᾶσα γλῶσσα ἐξομολογήσεται" τῷ Θεῷ[27]. **Isa. 45. 23.** Ἄρα † οὖν"
ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον ‡ δώσει" † τῷ Θεῷ". Μηκέτι[28] οὖν ἀλλή-

---

TEXTUAL: Vs. 12: A.L.Tr.T.W. *ἐνδυσώμεθα δέ*. | L. marg. *ἔργα*. Vs. 13: L. marg. Tr. marg. *ἔρισι*. | Tr. marg. *ζήλοις*. Vs. 14: A.Tr.T.W. *ἀλλά*. Chap. 14, vs. 3: A.L.Tr. T.W. *ὁδέ*, Codd. ℵ*,A,B,C,D*; txt. Codd. ℵᶜ,Dᶜ,17,37. Vs. 4: A.L.Tr.T.W. *δυνατεῖ γάρ*, Codd. ℵ,A,B,C,D*; txt. Codd. (Dᶜ),17,37. | A.L.Tr.T.W. *κύριος*, Codd. ℵ,A,B,C; txt. Codd. D,17,37. Vs. 5: T.W. marg. add *γάρ*, Codd. ℵ*,A,C; L. [*γάρ*]; txt. Codd. ℵᶜ,B,D,17,37. Vs. 6: L.Tr.T.W. om. *καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ*, Codd. ℵ,A,B,C*,D; [A.]; txt. Codd. C³, marg. 17,37. | A.L.Tr.T.W. add *καί*, Codd. ℵ,A,B,C,D,17,37. Vs. 8: L.W. marg. *ἀποθνήσκομεν*, Codd. A,D; txt. Codd. ℵ,B,37. | L.W. marg. *ἀποθνήσκομεν*. Vs. 9: A.L.Tr.T.W. om. *καί*. | A.L.Tr.T.W. *ἔζησεν*. Vs. 10: A.L.Tr.T.W. *Θεοῦ*. Vs. 11: L.Tr.W. marg. *ἐξομολογήσεται πᾶσα γλῶσσα*; txt. Tr. marg. Vs. 12: L.Tr.W. om. *οὖν*; [A.]; txt. W. marg. | L.Tr.W. *ἀποδώσει*; A. [*ἀπο*]; txt. L. marg. Tr. marg. W marg. | W. marg. om. *τῷ Θεῷ*; [L.]

---

GRAMMATICAL: 35) B. 308. 36) W. 477. 37) W. 219. 38) W. 397. 1) W. 174. 2) W. 476. 3) W. 397. 4) B. 102. 5) W. 322; B. 273. 6) W. 105. 7) W. 482.5. 8) W. 152. 9) B. 294.b. 10) W. 154. 11) B. 47. 12) B. 102. 13) W. 404*. 14) W. 154. 15) W. 212.b. 16) B. 178. 17) W. 441. 18) W. 295*; B. 223. 19) B. 163. 20) W. 161. 21) W. 276; B. 58. 22) W. 457.6. 23) W. 206.c; W. 552. 24) B. 388. 25) W. 440. 26) W. 449; W. 457.d. 27) W. 209.f. 28) W. 502.

λους κρίνωμεν· ἀλλὰ τοῦτο[29] κρίνατε μᾶλλον, τὸ μὴ[30] τιθέναι[31] πρόσ- 13
κομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. οἶδα καὶ πέπεισμαι ἐν[32] Κυρίῳ Ἰησοῦ, 14
ὅτι οὐδὲν κοινὸν δι' ‡ ἑαυτοῦ"[33]· εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι,
ἐκείνῳ[34] κοινόν[35]· εἰ ‡ δὲ" διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, ‡ οὐκ ἔτι" 15
κατὰ[36] ἀγάπην περιπατεῖς. μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε[37], ὑπὲρ
οὗ Χριστὸς ἀπέθανε. Μὴ[38] βλασφημείσθω οὖν ὑμῶν[39] τὸ ἀγαθόν. 16
οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις[40] καὶ πόσις, ἀλλὰ δικαιοσύνη 17
καὶ εἰρήνη καὶ χαρὰ ἐν[41] Πνεύματι Ἁγίῳ[42]· ὁ γὰρ ἐν ‡ τούτοις" δουλεύ- 18
ων † τῷ" Χριστῷ εὐάρεστος τῷ Θεῷ, καὶ ‡ δόκιμος" τοῖς ἀνθρώποις.
‡ ἄρα" οὖν τὰ τῆς εἰρήνης ‡ διώκωμεν", καὶ τὰ τῆς οἰκοδομῆς τῆς[43] εἰς 19
ἀλλήλους. ' Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. πάντα 20
μὲν καθαρά, ἀλλὰ[44] κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ[45] προσκόμματος ἐσθίοντι.
καλὸν[46] τὸ μὴ[47] φαγεῖν[48] κρέα[49], μηδὲ[50] πιεῖν οἶνον, μηδὲ[51] ἐν[52] ᾧ ὁ ἀδελ- 21
φός σου προσκόπτει ‡ ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ". Σὺ πίστιν * ἔχεις[53]; 22
κατὰ ‡ σαυτὸν" ἔχε ἐνώπιον τοῦ Θεοῦ· μακάριος ὁ μὴ[54] κρίνων ἑαυτὸν
ἐν[55] ᾧ δοκιμάζει. ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ[56], κατακέκριται[57], ὅτι[58] 23
οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν. Ὀφείλομεν **15**
δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ[1]
ἑαυτοῖς[2] ἀρέσκειν· ἕκαστος ‡ γὰρ" ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς[3] τὸ 2
ἀγαθὸν πρὸς οἰκοδομήν. καὶ γὰρ[4] ὁ[5] Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν[6], ἀλλά, 3
καθὼς γέγραπται, 'Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε[7], ‡ ἐπέπεσον"[8] ἐπ'
ἐμέ.' **Psa. 69. 10. (69. 9.)** Ὅσα γὰρ ‡ προεγράφη", εἰς τὴν ἡμετέραν[9] διδασκα- 4
λίαν ‡ προεγράφη", ἵνα διὰ τῆς ὑπομονῆς καὶ * τῆς παρακλήσεως τῶν
γραφῶν[10] τὴν ἐλπίδα ἔχωμεν. ὁ δὲ Θεὸς τῆς ὑπομονῆς[11] καὶ τῆς παρα- 5

---

TEXTUAL: Vs. 14: L.Tr.W. *αὐτοῦ*; txt. L marg. Vs. 15: A.L.Tr.T.W. *γὰρ*. | L.Tr.T.W. *οὐκέτι*. Vs. 18: A.L.Tr.T.W. *τούτῳ*, Codd. ℵ*,A,B,C,D*; txt. Codd. ℵᶜ,Dᶜ,17ᵃ,37. | L.W. marg. om. *τῷ*, Codd. A,D*; [Tr.]: txt. Codd. ℵ,B,C,Dᶜ,17,37. | L. marg. *δοκίμοις*. Vs. 19: L. marg. *ἄρα*. | L. marg. T.Tr. marg. W. marg. *διώκομεν*, Codd. ℵ,A,B; txt. Codd. C,D,17ᵍ,37. Vs. 21: T.W. om. *ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ*; [Tr. marg.] Vs. 22: L.Tr.T.W. add *ἣν*, Codd. ℵ,A,B,C; A. [*ἣν*]; txt. W. marg. Codd. D,17,37. | L.Tr.T.W. om. (;); A. [;]; txt. W. marg. | A.L.Tr.T.W. *σεαυτὸν*. Chap. 15, vs. 2: A.L.Tr.T.W. om. *γὰρ*, Codd. ℵ,A,B,C,D,17,37. Vs. 3: A.L.Tr.T.W. *ἐπέπεσαν*. Vs. 4: L. marg. *ἐγράφη*. | A. L.Tr.T.W. *ἐγραφη*. | A.L.Tr.T.W. add *διὰ*; txt. W. marg.

---

GRAMMATICAL: 29) W. 529. 30) B. 349. 31) W. 323.c; B. 263; B. 274. 32) W. 390*. 33) W. 152. 34) W. 160; B. 306. 35) W. 609. 36) W. 402. 37) B. 45. 38) W. 502. 39) W. 155. 40) W. 552. 41) W. 390*. 42) W. 139. 43) W. 133.b. 44) B. 365. 45) W. 580. 46) W. 584. 47) W. 475*; B. 349. 48) W. 320.a. 49) W. 65.c; W. 198. 50) W. 488.a; B. 366. 51) W. 583; B. 393. 52) W. 158.a. 53) W. 508. 54) W. 483.a. 55) W. 159; W. 386. 56) W. 293. 57) W. 262; W. 273; B. 199. 58) B. 393. 1) W. 476; B. 350. 2) B. 113. 3) W. 397. 4) W. 448. 5) W. 118. 6) B. 386. 7) W. 222. 8) W. 74. 9) W. 153. 10) W. 189*. 11) W. 185.

*κλήσεως δῴη*[12] *ὑμῖν τὸ αὐτὸ φρονεῖν*[13] *ἐν ἀλλήλοις κατὰ*[14] ‡ *Χριστὸν*
6 *Ἰησοῦν″· ἵνα ὁμοθυμαδὸν ἐν*[15] *ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ πατέρα*
7 *τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους,*
8 *καθὼς καὶ ὁ*[16] *Χριστὸς προσελάβετο* ‡ *ἡμᾶς″, εἰς δόξαν* * *Θεοῦ*[17]. *λέγω*[18]
*δέ,* ‡ *Ἰησοῦν″ Χριστὸν διάκονον* ‡ *γεγενῆσθαι*[19] *περιτομῆς ὑπὲρ*[20] *ἀλη-*
9 *θείας Θεοῦ*[21], *εἰς*[22] *τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων*[23]· *τα δὲ*
*ἔθνη ὑπὲρ*[24] *ἐλέους δοξάσαι*[25] *τὸν Θεόν, καθὼς γέγραπται, ‘Διὰ τοῦτο*
*ἐξομολογήσομαί σοι*[26] *ἐν ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψαλῶ.’* **Psa. 17. 50:**
10 **(18. 49.)** *Καὶ πάλιν λέγει, ‘Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ.’*
11 **Deut. 32. 43.** *Καὶ πάλιν, ‘Αἰνεῖτε*[27] ‡ *τὸν Κύριον πάντα τὰ ἔθνη″, καὶ* ‡ *ἐπαι-*
12 *νέσατε″*[28] *αὐτὸν πάντες οἱ λαοί.’* **Psa. 116. 1; (117. 1.)** *Καὶ πάλιν* ‡ *Ἡσαΐας′*
*λέγει, ‘Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν*[29],
13 *ἐπ'*[30] *αὐτῷ ἔθνη ἐλπιοῦσιν*[31].’ **Isa. 11. 10.** *Ὁ δὲ Θεὸς τῆς ἐλπίδος*[32]
‡ *πληρώσαι ὑμᾶς πάσης χαρᾶς*[33] *καὶ εἰρήνης″ ἐν τῷ πιστεύειν, εἰς*[34] *τὸ*
*περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν*[35] *δυνάμει Πνεύματος Ἁγίου.*
14 ΠΕΠΕΙΣΜΑΙ *δέ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ*[36] *ὑμῶν, ὅτι καὶ*
*αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης* * *γνώσεως*[37], *δυνά-*
15 *μενοι καὶ ἀλλήλους νουθετεῖν.* ‡ *τολμηρότερον″*[38] *δὲ ἔγραψα*[39] *ὑμῖν,*
† *ἀδελφοί″, ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων*[40] *ὑμᾶς, διὰ*[41] *τὴν χάριν τὴν*
16 *δοθεῖσάν μοι* ‡ *ὑπὸ″ τοῦ Θεοῦ, εἰς*[42] *τὸ εἶναί με λειτουργὸν* ‡ *Ἰησοῦ*
*Χριστοῦ″ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον*[43] *τοῦ Θεοῦ, ἵνα*
*γένηται ἡ προσφορὰ τῶν ἐθνῶν*[44] *εὐπρόσδεκτος, ἡγιασμένη ἐν*[45] *Πνεύ-*
17 *ματι Ἁγίῳ. ἔχω οὖν*[46] * *καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ*[47] *πρὸς* * *Θεόν.*

---

TEXTUAL: Vs. 5: Tr. *Ἰησοῦν Χριστόν*, Codd. ℵ,A,C*,37; txt. Codd. B,C², D,17. Vs. 7: A.L.Tr.T.W. *ὑμᾶς*, Codd. ℵ,A,C,Dᵇ,17,37; txt. L. marg. Tr. marg. Codd. B,D*. | A.L.Tr.T. W. add *τοῦ*, Codd. ℵ,A,B,C,D,37; txt. Cod. 17s. Vs. 8: A.L.Tr.T.W. *γαρ*. | A.L.Tr.T.W. om. *Ἰησοῦν*. | L.Tr.W. *γενέσθαι*; txt. Tr. marg. W. marg. Vs. 11: L.W. marg. add *λέγει*: A.Tr. marg. [*λέγει.*] | A.L.Tr.T.W. *πάντα τὰ ἔθνη τὸν Κύριον*; txt. L. marg. | A.L.Tr.T. W. *ἐπαινεσάτωσαν*. Vs. 12: L. *Ἡσαΐας*. Vs. 13: L. marg. *πληροφορῆσαι ὑμᾶς ἐν πάσῃ χαρᾷ καὶ εἰρήνῃ*. Vs. 14: T. adds *τῆς*. Codd. ℵ,B; [A.Tr. marg.]; txt. Codd. A,C,D. Vs. 15: Tr.W. *τολμηροτέρως*; txt. Tr. marg. W. marg. | L.Tr.T.W. om. *ἀδελφοί*, Codd. ℵ*, A,B,C; [A.]; txt. Codd. ℵᶜ,D,17,37. | Tr.T. *ἀπὸ*, Codd. ℵ*,B; txt. Codd. ℵᶜ,A,C,D. Vs. 16: A.L.Tr.T.W. *Χριστοῦ Ἰησοῦ*. Vs. 17: A.L.Tr.T.W. add *τὴν*, Codd. B,C,D,37; txt. Codd. ℵ,A,17. | A L.Tr.T.W. add *τὸν*, Codd. ℵ,A.B,C,D,17,37.

---

GRAMMATICAL: 12) W. 78.g; W. 286.5; B. 46. 13) W. 321. 14) W. 401. 15) W. 388. 16) W. 118. 17) W. 122. 18) W. 153. 19) W. 334. 20) W. 383. 21) W. 122. 22) B. 264. 23) W. 185. 24) W. 383. 25) W. 322*: W. 332*. 26) B. 176. 27) W. 314. 28) W. 314. 29) W. 206. 30) W. 233.a. 31) W. 175; B. 37. 32) W. 185. 33) W. 201.b. 34) B. 264. 35) W. 410. 36) W. 373. 37) W. 201.b. 38) W. 243*. 39) W. 278. 40) B. 307. 41) W. 399*. 42) B. 265; B. 275. 43) W. 223*. 44) W. 531. 45) W. 389. 46) W. 455.c. 47) W. 230.

οὐ γὰρ ‡ τολμήσω″[48] ‡ λαλεῖν τι″ ὧν[49] οὐ[50] κατειργάσατο Χριστὸς δι'[51] 18
ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ[52] καὶ ἔργῳ, ' ἐν δυνάμει σημείων καὶ 19
τεράτων[53], ἐν δυνάμει πνεύματος ‡ Θεοῦ″· ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ
κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι[54] τὸ εὐαγγέλιον τοῦ[55] Χρι-
στοῦ· οὕτω δὲ ‡ φιλοτιμούμενον″ εὐαγγελίζεσθαι, οὐχ[56] ὅπου ὠνομάσθη[57] 20
Χριστός, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομῶ· ἀλλά, καθὼς γέγραπ- 21
ται, ‡ ' Οἷς οὐκ ἀνηγγέλη[58] περὶ αὐτοῦ, ὄψονται″ καὶ οἳ οὐκ[59] ἀκηκόασι,
συνήσουσι.' Isa. 52. 15. Διὸ καὶ ἐνεκοπτόμην[60] ‡ τὰ πολλὰ″[61] τοῦ ἐλ- 22
θεῖν[62] πρὸς ὑμᾶς. νυνὶ δὲ μηκέτι[63] τόπον ἔχων ἐν τοῖς κλίμασι τούτοις, 23
ἐπιποθίαν δὲ ἔχων[64] † τοῦ″ ἐλθεῖν[65] πρὸς ὑμᾶς ἀπὸ ‡ πολλῶν″ ἐτῶν, ὡς 24
‡ ἐὰν″[66] πορεύωμαι εἰς τὴν Σπανίαν, † ἐλεύσομαι πρὸς ὑμᾶς″· ἐλπίζω γὰρ
διαπορευόμενος[67] θεάσασθαι[68] ὑμᾶς, καὶ ‡ ὑφ'″ ὑμῶν προπεμφθῆναι ἐκεῖ[69],
ἐὰν ὑμῶν[70] πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ. Νυνὶ δὲ πορεύομαι[71] εἰς Ἱε- 25
ρουσαλήμ, διακονῶν[72] τοῖς ἁγίοις. ‡ εὐδόκησαν″ γὰρ Μακεδονία καὶ 26
Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι[73] εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν[74]
ἐν Ἱερουσαλήμ· εὐδόκησαν γάρ[75], καὶ ὀφειλέται ‡ αὐτῶν εἰσιν″. εἰ γὰρ 27
τοῖς πνευματικοῖς[76] αὐτῶν ἐκοινώνησαν[77] τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς
σαρκικοῖς λειτουργῆσαι αὐτοῖς. τοῦτο οὖν ἐπιτελέσας[78] καὶ σφραγισά- 28
μενος † αὐτοῖς″ τὸν καρπὸν τοῦτον, ἀπελεύσομαι δι'[79] ὑμῶν εἰς † τὴν″
Σπανίαν. οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς, ἐν[80] πληρώματι εὐλογίας 29
† τοῦ εὐαγγελίου τοῦ″ Χριστοῦ ἐλεύσομαι. Παρακαλῶ δὲ ὑμᾶς, † ἀδελ- 30
φοί″, διὰ[81] τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ
Πνεύματος, συναγωνίσασθαί[82] μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς

---

TEXTUAL: Vs. 18: L. marg. Tr. marg. W. marg. τολμῶ, Codd. ℵ^c,B; txt. Codd. ℵ*,A,C, D. | A.L.Tr.T.W. τι λαλεῖν. Vs. 19: L.Tr.W. marg. ἁγίου, Codd. A,C,D*,17,37; W. om. Θεοῦ, Cod. B; A. [ἁγίου]; txt. Codd. ℵ,D^b. Vs. 20: L.Tr.W. marg. φιλοτιμοῦμαι, Codd. B,D*; txt. Tr. marg. Codd. ℵ,A,C,D^b,17,37. Vs. 21: Tr. marg. W. marg. ὄψονται οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ. Vs. 22: L.Tr. marg. W marg. πολλάκις, Codd. B,D; txt. Codd. ℵ,A,C,17,37. Vs. 23: L. [τοῦ.] | A.Tr.W. ἱκανων, Codd. B,C,37; txt. Tr. marg. Codd. ℵ,A,D,17. Vs. 24: A.L.Tr.T.W. ἄν. | A.L.Tr.T.W. om. ἐλεύσομαι πρὸς ὑμᾶς, Codd. ℵ*,A,B,C,D; txt. Codd. ℵ^c,17,37. | A.L.W. ἀφ'; Tr. marg. ἀπὸ; txt. W. marg. Vss. 26 and 27: Tr.T. ηὐδόκησαν; Tr. marg. εὐδόκησεν. Vs. 27: A.L.Tr.T.W. εἰσὶν αὐτῶν. Vs. 28: W. marg. om. αὐτοῖς. | A.L.Tr.T.W. om. τὴν. Vs. 29: A.L.Tr.T.W. om. τοῦ εὐαγγελίου τοῦ, Codd. ℵ*,A,B,C,D; txt. Codd. ℵ^c,17,37. Vs. 30: W. om. ἀδελφοί; [A.]; txt. W. marg.

---

GRAMMATICAL: 48) W. 279. 49) W. 158; W. 166.b; B. 287. 50) W. 498. 51) W. 217. 52) W. 216.d; W. 552. 53) W. 65. 54) W. 334. 55) W. 118. 56) W. 556*. 57) W. 615. 58) W. 82. 59) B. 349. 60) W. 268.b; W. 604: B. 270. 61) B. 96. 62) W. 325; B. 268. 63) W. 483.β. 64) B. 294*. 65) W. 324.a. 66) W. 308*.5. 67) W. 321. 68) W. 331.c. 69) W. 472. 70) W. 198.c. 71) W. 265. 72) W. 342.a. 73) W. 256. 74) W. 133.b. 75) W. 448. 76) W. 200.a; W. 209.b. 77) W. 292. 78) W. 343. 79) W 378*. 80) W. 384. 81) W. 381. 82) W. 332.

31 τὸν Θεόν· ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων[83] ἐν τῇ Ἰουδαίᾳ, καὶ † ἵνα″
ἡ ‡ διακονία″ μου ἡ[84] ‡ εἰς″ Ἱερουσαλὴμ εὐπρόσδεκτος ‡ γένηται τοῖς ἁγί-
32 οις″· ἵνα ‡ ἐν χαρᾷ ἔλθω″ πρὸς ὑμᾶς διὰ θελήματος ‡ Θεοῦ″[85], ‡ καὶ″
33 ‡ συναναπαύσωμαι ὑμῖν″. ὁ δὲ Θεὸς[86] τῆς εἰρήνης μετὰ πάντων ὑμῶν.
† ἀμήν″.
16 ΣΥΝΙΣΤΗΜΙ † δέ″ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ‡ ἡμῶν″, οὖσαν[1] * διά-
2 κονον τῆς ἐκκλησίας τῆς[2] ἐν ‡ Κεγχρεαῖς″· ἵνα ‡ αὐτὴν προσδέξησθε″ ἐν[3]
Κυρίῳ ἀξίως τῶν ἁγίων[4], καὶ παραστῆτε αὐτῇ ἐν[5] ᾧ ἂν[6] ὑμῶν χρήζῃ
πράγματι· καὶ γὰρ[7] ‡ αυτὴ″[8] προστάτις[9] πολλῶν ἐγενήθη, καὶ ‡ αὐτοῦ
3 ἐμοῦ″. Ἀσπάσασθε ‡ Πρίσκιλλαν″ καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν[10]
4 Χριστῷ Ἰησοῦ· οἵτινες[11] ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέ-
θηκαν, οἷς οὐκ ἐγὼ μόνος[12] εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν
5 ἐθνῶν· καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν. ἀσπάσασθε ‡ Ἐπαίνετον″
τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ τῆς ‡ Ἀχαΐας″[13] εἰς[14] Χριστόν.
6 ἀσπάσασθε ‡ Μαριάμ″[15], ἥτις[16] πολλὰ ἐκοπίασεν εἰς ‡ ἡμᾶς″. ἀσπάσασθε
7 Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου[17] καὶ συναιχμαλώτους μου·
οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ[18] ἐμοῦ ‡ γεγόνα-
8 σιν″ ἐν Χριστῷ. ἀσπάσασθε ‡ Ἀμπλίαν″[19] τὸν ἀγαπητόν † μου″ ἐν Κυ-
9 ρίῳ. ἀσπάσασθε Οὐρβανὸν τὸν συνεργὸν ἡμῶν ἐν[20] ‡ Χριστῷ″, καὶ
10 Στάχυν τὸν ἀγαπητόν μου. ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν
11 Χριστῷ. ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου[21]. ἀσπάσασθε ‡ Ἡρο-
δίωνα″ τὸν ‡ συγγενῆ″[22] μου. ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου, τοὺς
12 ὄντας ἐν Κυρίῳ. ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν τὰς κοπιώσας
ἐν[23] Κυρίῳ. ‡ ἀσπάσασθε Περσίδα τὴν ἀγαπητήν, ἥτις[24] πολλὰ ἐκοπί-

---

TEXTUAL: Vs. 31: A.L.Tr.T.W. om. ἵνα. | L.Tr. marg. W. marg. δωροφορία, Codd. B,D*; txt. Codd. ℵ,A,C,D^b,17,37. | L.Tr. marg. W. marg. ἐν, Codd. B,D*; txt. Codd. ℵ,A,C,D^c, 17,37. | A.L.Tr.T.W. τοῖς ἁγίοις γένηται. Vs. 32: W.Tr. marg. ἐν χαρᾷ ἐλθὼν; T. ἐλθὼν ἐν χαρᾷ; txt. W. marg. | L.Tr. marg. W. marg. κυρίου Ἰησοῦ, Cod. B; txt. Codd. ℵ^c,A,C, D^c,17,37. | Tr. marg. T.W. marg. om. καὶ, Codd. ℵ*,A,C: txt. ℵ^c,(D),17,37. | L.W. marg. om. συναπαύσωμαι ὑμῖν, Cod. B: txt. Codd. ℵ,A,C,17,37; A. [καὶ συναπαύσωμαι ὑμῖν.] Vs. 33: [L.Tr.] Chap. 16, vs. 1: W. marg. om. δέ. | L. marg. ὑμῶν. | W. adds καὶ; txt. W. marg. | T. Κεν. Vs. 2: A.L.Tr.W. προσδέξησθε αὐτὴν. | A.L.T.W. αὐτῆ. | A.L.Tr.T.W. ἐμοῦ αὐτοῦ. Vs. 3: A.L.Tr.T.W. Πρίσκαν. Vs. 5: T. Ἐπαινετὸν. | A.L.Tr.T.W. Ἀσίας, Codd. ℵ,A.B,C,D*; txt. Codd. D^b,17,37. Vs. 6: A.L.Tr.W. Μαρίαν. | A.L.Tr.T.W. ὑμᾶς. Vs. 7: A.L.Tr.T.W. γέγοναν. Vs. 8: L. marg. Tr. Ἀμπλιᾶτον; A.T.W. marg. Ἀμπλίατον; W. Ἀμπλιᾶν. | W. marg. om. μου. Vs. 9: L.W. marg. Κυρίῳ, Codd. C,D,37; txt. Codd. ℵ,A,B,17. Vs. 11: A.L.Tr.T.W. Ἡρωδίωνα. | Tr. συγγενῆν. Vs. 12: [L.]

---

GRAMMATICAL: 83) W. 234. 84) W. 133.b. 85) W. 122. 86) W. 585. 1) W. 134; W. 343. 2) W. 133.b. 3) W. 390. 4) W. 234.1. 5) W. 159. 6) W. 307. 7) W. 448. 8) B. 109. 9) W. 638. 10) W. 136. 11) W. 562; W. 566*. 12) B. 83. 13) W. 185. 14) W. 397. 15) B. 176. 16) B. 115. 17) W. 143. 18) W. 372.d. 19) W. 103; W. 113. 20) W. 136. 21) B. 95. 22) W. 66; B. 13. 23) W. 390. 24) B. 115.

*ασεν ἐν* Κυρίῳ″. *ἀσπάσασθε* 'Ροῦφον *τὸν ἐκλεκτὸν ἐν* Κυρίῳ, *καὶ τὴν* 13
*μητέρα αὐτοῦ καὶ ἐμοῦ*[25]. *ἀσπάσασθε* ‡ 'Ασύγκριτον″, Φλέγοντα, ‡ 'Ερ- 14
μᾶν″[26], Πατρόβαν, ‡ 'Ερμῆν″, *καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς. ἀσπάσα-* 15
*σθε* Φιλόλογον *καὶ* ‡ 'Ιουλίαν, Νηρέα″ *καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ*
'Ολυμπᾶν[27], *καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. ἀσπάσασθε ἀλλήλους* 16
*ἐν φιλήματι ἁγίῳ. ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι* * *τοῦ*[28] Χριστοῦ.

Παρακαλῶ *δὲ ὑμᾶς, ἀδελφοί, σκοπεῖν*[29] *τοὺς τὰς διχοστασίας καὶ τὰ*[30] 17
*σκάνδαλα, παρὰ*[31] *τὴν διδαχὴν ἣν ὑμεῖς ἐμάθετε, ποιοῦντας· καὶ* ‡ *ἐκ-*
*κλίνατε*″[32] *ἀπ' αὐτῶν. οἱ γὰρ τοιοῦτοι τῷ* Κυρίῳ *ἡμῶν* † 'Ιησοῦ″ Χρι- 18
στῷ *οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ· καὶ διὰ τῆς χρηστολογίας*
‡ *καὶ εὐλογίας*″ *ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. ἡ γὰρ*[33] *ὑμῶν*[34] 19
*ὑπακοὴ εἰς πάντας ἀφίκετο*[35]· ‡ *χαίρω οὖν τὸ ἐφ' ὑμῖν*″. *θέλω δὲ*
*ὑμᾶς σοφοὺς* † *μὲν*″ *εἶναι εἰς τὸ ἀγαθόν ἀκεραίους δὲ εἰς τὸ κακόν. ὁ* 20
*δὲ* Θεὸς *τῆς εἰρήνης* ‡ *συντρίψει*″[36] *τὸν* Σαταν *ᾶν ὑπὸ*[37] *τοὺς πόδας ὑμῶν*
*ἐν τάχει. ἡ χάρις τοῦ* Κυρίου *ἡμῶν* 'Ιησοῦ † Χριστοῦ″ *μεθ' ὑμῶν.* *
‡ 'Ασπάζονται″ *ὑμᾶς* Τιμόθεος *ὁ συνεργός μου, καὶ* Λούκιος *καὶ* 'Ιάσων 21
*καὶ* Σωσίπατρος *οἱ συγγενεῖς μου. ἀσπάζομαι ὑμᾶς ἐγὼ*[38] Τέρτιος *ὁ* 22
*γράψας τὴν ἐπιστολὴν ἐν*[39] Κυρίῳ. *ἀσπάζεται ὑμᾶς* Γάϊος *ὁ ξένος μου* 23
*καὶ* ‡ *τῆς ἐκκλησίας ὅλης*″· *ἀσπάζεται ὑμᾶς* ῎Εραστος *ὁ οἰκονόμος τῆς*
*πόλεως, καὶ* Κούαρτος *ὁ ἀδελφός.*

† 'Η *χάρις τοῦ* Κυρίου *ἡμῶν* 'Ιησοῦ Χριστοῦ *μετὰ πάντων ὑμῶν*″. 24
*ἀμήν.* Τῷ *δὲ δυναμένῳ*[40] *ὑμᾶς στηρίξαι κατὰ*[41] *τὸ εὐαγγέλιόν μου καὶ τὸ* 25
*κήρυγμα* 'Ιησοῦ Χριστοῦ, *κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις*[42] *αἰωνίοις*
*σεσιγημένου,* ' *φανερωθέντος δὲ νῦν, διά τε*[43] *γραφῶν προφητικῶν, κατ'* 26
*ἐπιταγὴν τοῦ αἰωνίου* Θεοῦ, *εἰς ὑπακοὴν πίστεως*[44] *εἰς*[45] *πάντα τὰ ἔθνη*

---

TEXTUAL: Vs. 14: T. '*Ασύνκριτον.* | A.L.Tr.T.W. transpose 'Ερμᾶν and 'Ερμῆν. Vs. 15: L. marg. 'Ιουνίαν, Νηρέαν. Vs. 16: A.L.Tr.T.W. add *πᾶσαι*, Codd. ℵ,A,B,C,37; txt. Codd. 17s,37. Vs. 17: Tr.T.W. marg. *ἐκκλίνετε*, Codd. ℵ*,B,C,37; txt. Codd. ℵc,A, D,17. Vs. 18: A.L.Tr.T.W. om. 'Ιησοῦ, Codd. ℵ,A,B,C,37; txt Cod. 17. | W. marg. om. *καὶ εὐλογίας*, Codd. D, 17; txt. Codd. ℵ,A,B,C. Vs. 19: A.L.Tr.T.W. *ἐφ' ὑμῖν οὖν χαίρω.* | A.L.Tr.T.W. om. *μὲν*, Codd. B,D; txt. Codd. ℵ,A,C,17s,37. Vs. 20: W. marg. *συντρίψαι.* | T. om. Χριστοῦ, Codd. ℵ,B; [A.Tr.]; txt. Codd. A,C,17,37. | E. adds *ἀμήν*. Vs. 21: A.L.Tr.T.W. *ἀσπάζεται*, Codd. ℵ,A,B,C,D*.37; txt. Codd. Dc,17s. Vs. 23: A.L.Tr.T.W. *ὅλης τῆς ἐκκλησίας.* Vs. 24: L.Tr.T.W. om. vs. 24, Codd. ℵ,A,B,C; [A.]; txt. W. marg. Codd. D,(17),(37).

GRAMMATICAL: 25) W. 155; B. 117. 26) W. 103. 27) W. 103. 28) W. 118. 29) W. 332. 30) W. 126; B. 100. 31) W. 404. 32) W. 314; W. 429.a. 33) W. 447. 34) B. 117. 35) B. 60. 36) W. 280*. 37) W. 621. 38) W. 521.a. 39) W. 390. 40) W. 567*; B. 293: B. 386. 41) W. 401. 42) W. 218.a; B. 186. 43) W. 435. 44) W. 186. 45) W. 396.a.

27 *γνωρισθέντος,' μόνῳ*[46] *σοφῷ Θεῷ, διὰ*[47] *'Ιησοῦ Χριστοῦ,* † *ᾧ"*[48] *ἡ*[49] *δόξα*[50] *εἰς τοὺς αἰῶνας.* * *ἀμήν.*

† Πρὸς 'Ρωμαίους *ἐγράφη ἀπὸ* Κορίνθου *διὰ* Φοίβης, *τῆς διακόνου τῆς ἐν* Κεγχρεαῖς *ἐκκλησίας".*

---

TEXTUAL: Vs. 27: W. marg. om. ᾧ, Cod. B. | L.T.W. marg. add *τῶν αἰώνων*. *Subscription*: L.T.W. om.; A.Tr. ΠΡΟΣ ΡΩΜΑΟΥΣ, Codd. ℵ,A,B*,C,D*.

GRAMMATICAL: 46) W. 567*. 47) W. 378. 48) W. 168. 49) W. 108.b. 50) B. 137.

FINIS.

Princeton Theological Seminary Libraries
1 1012 01249 5489